BA κατεφίλησεν αὐτὸν καὶ ἔκλαυσε καὶ εὐλόγησεν αὐτὸν καὶ εἶπεν
αὐτῷ Ὁ τοῦ καλοῦ καὶ ἀγαθοῦ ἀνθρώπου· καὶ ἀκούσας ὅτι Τω-
βιτ ἀπώλεσεν τοὺς ὀφθαλμοὺς αὐτοῦ, ἐλυπήθη καὶ ἔκλαυσεν.
[7]καὶ Εδνα ἡ γυνὴ αὐτοῦ καὶ Σαρρα ἡ θυγάτηρ αὐτοῦ ἔκλαυ- 7
σαν καὶ ὑπεδέξαντο αὐτοὺς προθύμως. [8]καὶ ἔθυσαν κριὸν προβάτων 8
καὶ παρέθηκαν ὄψα πλείονα.
[9]Εἶπεν δὲ Τωβιας τῷ Ραφαηλ Αζαρια ἄδελφε, λάλησον ὑπὲρ 9
ὧν ἔλεγες ἐν τῇ πορείᾳ, καὶ τελεσθήτω τὸ πρᾶγμα. [10]καὶ μετέδω- 10
κεν τὸν λόγον τῷ Ραγουηλ. καὶ εἶπεν Ραγουηλ πρὸς Τωβιαν Φάγε
καὶ πίε καὶ ἡδέως γίνου· σοὶ γὰρ καθήκει τὸ παιδίον μου λαβεῖν·
πλὴν ὑποδείξω σοι τὴν ἀλήθειαν. [11]ἔδωκα τὸ παιδίον μου ἑπτὰ 11
ἀνδράσιν, καὶ ὁπότε ἐὰν εἰσεπορεύοντο πρὸς αὐτήν, ἀπεθνῄσκοσαν
ὑπὸ τὴν νύκτα. ἀλλὰ τὸ νῦν ἔχων ἡδέως γίνου. [12]καὶ εἶπεν Τω- 12
βιας Οὐ γεύσομαι οὐδὲν ὧδε, ἕως ἂν στήσητε καὶ σταθῆτε πρός
με. καὶ εἶπεν Ραγουηλ Κομίζου αὐτὴν ἀπὸ τοῦ νῦν κατὰ τὴν

6 αυτου V] εαυ. B†, > A || 7 εδνα] + και A† || 9 δε > A*† | πορεια] ενπορια A† | τελεσθητω] στητω A† || 10 και $3^0$ > B | σοι ult. > B† || 11 παιδιον] -δαριον A*† | μου > A† | απεθνησκοσαν] σα > B* | την > B† | εχον $B^c$ || 12 γευσομαι] σ > B

---

S κατεφίλησεν αὐτὸν καὶ ἔκλαυσεν καὶ ἐλάλησεν καὶ εἶπεν αὐτῷ Εὐλο-
γία σοι γένοιτο, παιδίον, ὁ τοῦ καλοῦ καὶ ἀγαθοῦ πατρός· ὢ ταλαι-
πώρων κακῶν, ὅτι ἐτυφλώθη ἀνὴρ δίκαιος καὶ ποιῶν ἐλεημοσύνας.
καὶ ἐπιπεσὼν ἐπὶ τὸν τράχηλον Τωβια τοῦ ἀδελφοῦ αὐτοῦ ἔκλαυσεν.
[7]καὶ Εδνα ἡ γυνὴ αὐτοῦ ἔκλαυσεν αὐτόν, καὶ Σαρρα ἡ θυγάτηρ 7
αὐτῶν ἔκλαυσεν καὶ αὐτή. [8]καὶ ἔθυσεν κριὸν ἐκ προβάτων καὶ 8
ὑπεδέξατο αὐτοὺς προθύμως.
[9]Καὶ ὅτε ἐλούσαντο καὶ ἐνίψαντο καὶ ἀνέπεσαν δειπνῆσαι, εἶπεν 9
Τωβιας τῷ Ραφαηλ Αζαρια ἄδελφε, εἰπὸν Ραγουηλ ὅπως δῷ μοι
Σαρραν τὴν ἀδελφήν μου. [10]καὶ ἤκουσεν Ραγουηλ τὸν λόγον καὶ 10
εἶπεν τῷ παιδί Φάγε καὶ πίε καὶ ἡδέως γενοῦ τὴν νύκτα ταύτην·
οὐ γάρ ἐστιν ἄνθρωπος ᾧ καθήκει λαβεῖν Σαρραν τὴν θυγατέρα
μου πλὴν σοῦ, ἄδελφε, ὡσαύτως δὲ καὶ ἐγὼ οὐκ ἔχω ἐξουσίαν
δοῦναι αὐτὴν ἑτέρῳ ἀνδρὶ πλὴν σοῦ, ὅτι σὺ ἔγγιστά μου· καὶ
μάλα τὴν ἀλήθειάν σοι ὑποδείξω, παιδίον. [11]ἔδωκα αὐτὴν ἑπτὰ 11
ἀνδράσιν τῶν ἀδελφῶν ἡμῶν, καὶ πάντες ἀπέθανον τὴν νύκτα ὁ-
πότε εἰσεπορεύοντο πρὸς αὐτήν. καὶ νῦν, παιδίον, φάγε καὶ πίε,
καὶ κύριος ποιήσει ἐν ὑμῖν. [12]καὶ εἶπεν Τωβιας Οὐ μὴ φάγω ἐντεῦ- 12
θεν οὐδὲ μὴ πίω, ἕως ἂν διαστήσῃς τὰ πρὸς ἐμέ. καὶ εἶπεν αὐτῷ
Ραγουηλ ὅτι Ποιῶ, καὶ αὐτὴ δίδοταί σοι κατὰ τὴν κρίσιν τῆς βί-
βλου Μωυσέως, καὶ ἐκ τοῦ οὐρανοῦ κέκριταί σοι δοθῆναι· κομίζου τὴν

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/1073 UNIVERSITÄT LEIPZIG